ληψόμενον χέρνιβα ἀπὸ τῆς Ἀρείας τῆς κρήνης. ὁ δὲ φρουρῶν τὴν κρήνην δράκων, ὃν Ἄρεος ἔλεγόν τινες εἶναι, τοὺς πλείονας τῶν πεμφθέντων διέφθειρεν. ἀγανακτήσας δὲ ὁ Κάδμος, κτείνει τὸν δράκοντα· καὶ τῆς Ἀθηνᾶς αὐτῷ ὑποθεμένης, τοὺς τούτου ὀδόντας σπείρει. ἀφ' ὧν ἐγένοντο οἱ γηγενεῖς. ὀργισθέντος δὲ Ἄρεος καὶ μέλλοντος Κάδμον ἀναιρεῖν, ἐκώλυσεν ὁ Ζεύς. καὶ Ἁρμονίαν αὐτῷ συνῴκισε τὴν Ἄρεος καὶ Ἀφροδίτης. πρότερον δὲ ἐκέλευσεν αὐτὸν ἀντὶ τῆς ἀναιρέσεως τοῦ δράκοντος, ἐνιαυτὸν θητεῦσαι. ἐν δὲ τοῖς γάμοις μούσας ᾆσαι. καὶ τῶν θεῶν ἕκαστον Ἁρμονίᾳ δῶρον δοῦναι. ἱστορεῖ Ἑλλάνικος ἐν Βοιωτιακοῖς. καὶ Ἀπολλόδωρος ἐν τῷ γ΄ :·

| | |
|---|---|
| Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον· | Τῶν μὲν Βοιωτῶν, ὁ Πηνέλεως καὶ ὁ Λήϊτος ἐβασίλευον· |
| Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε· | Καὶ ὁ Ἀρκεσίλαος καὶ ὁ Προθοήνωρ καὶ ὁ Κλονίος· |
| Οἵ θ' Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσαν· | Οἵτινες τὴν Ὑρίαν ᾤκουν καὶ Αὐλίδα τὴν πετρώδη· |
| Σχοῖνόν τε, Σκῶλόν τε πολύκνημόν τ' Ἐτεωνόν· | Καὶ τὴν Σχοῖνον καὶ τὴν Σκῶλον καὶ τὸν πολλὰς προσβολὰς ἔχοντα Ἐτεωνόν. |
| Θέσπειαν Γραῖάν τε καὶ εὐρύχορον Μυκαλησσόν· | Καὶ τὴν Θέσπιαν καὶ τὴν Γραῖαν κώμην τὴν ἀγρ(όν)· καὶ τὴν μεγάλην Μυκαλησσόν· |
| + Οἵ τ' ἀμφ' Ἅρμ' ἐνέμοντο καὶ Εἰλέσιον καὶ Ἐρυθράς. | Οἵτινες καὶ περὶ τὸ Ἅρμα κατῴκουν. καὶ τὸ Εἰλέσιον καὶ τὰς Ἐρυθράς· |

ι2

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG

https://digi.ub.uni-heidelberg.de/diglit/cpgraec40/0263

gefördert durch die Gesellschaft der Freunde Universität Heidelberg e.V.